# 26 NOIEMBRIE

# SLUJBA SF.CUVIOS ACACHIE DE LA SINAI

# MINEIUL-GR

www.tezaurliturgic.ro



# Ἀκολουθία Ὁσίου ΑΚΑΚΙΟΥ τοῦ ἐν τῇ Κλίμακι

+ Ῥόδου Κυρίλλου

Ψαλλομένη τῇ 26η Νοεμβρίου

## ΕΝ Τῼ ΜΕΓΑΛῼ ΕΣΠΕΡΙΝῼ

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ Προοιμιακὸς καί τό Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχου στ’ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.

Τῆς ἀκακίας τὸ ῥόδον, τὸ θεομύριστον, Ἀκάκιον ἐν ὕμνοις, εὐφημήσωμεν πάντες· Χριστὸν γὰρ ἀγαπήσας οὗτος σφοδρῶς, φυγαδεύων ἐμάκρυνε, τῆς κοσμικῆς συναφείας καὶ μοναστῶν, ἐν χορείᾳ ὑπερέλαμψε.

Τῶν ἐπικήρων πραγμάτων, Πάτερ Ἀκάκιε, καταφρονήσας πάντων, οὐρανίῳ ἐφέσει, μετῆλθες τῶν Ἀγγέλων ἐπὶ τῆς γῆς, ἀληθῶς τὸ πολίτευμα, καὶ ἰσαγγέλου ἐπέτυχες ἐν Ἐδέμ, σὺν Ὁσίων δήμοις στάσεως.

Τὸν εὑρετὴν τῆς κακίας, Πάτερ Ἀκάκιε, κατῄσχυνας εἰς τέλος, ἀκακίᾳ τελείᾳ, δι’ ἧς ὑπεραστράψας ὥσπερ φωστήρ, ἐν Ἀσίᾳ ἀσκήσεως, τῶν

μοναστῶν τὰς χορείας φωταγωγεῖς, κατ᾿ ἀξίαν εὐφημούντων σε.

Ἐν Κελλιβάρων τῇ Μάνδρᾳ, Πάτερ Ἀκάκιε, ὑπακοῆς τελείας, μετελθὼν τὸν ἀγῶνα, ἐφθέγξω ἐκ τοῦ τάφου καθάπερ ζῶν, ὅτι ζῶσιν ἀείποτε, ὑπακοῆς οἱ ἐργάται παρὰ Θεοῦ, ἐν ὑψίστοις δοξαζόμενοι.

Μαρτυρικῶς καθ᾿ ἡμέραν, θνήσκων Ἀκάκιε, ὑπακοῆς τῷ ἔργῳ, ἐν πολλῇ ταπεινώσει, ζωῆς τῆς αἰωνίου ἐν πλατυσμῷ, Παραδείσου ἠξίωσαι, ἀναπηγάζων ἐκεῖθεν τὰς δωρεάς, τῶν θαυμάτων τοῖς τιμῶσί σε.

Τὰς ἀτιμίας, τὰς ὕβρεις, τὴν ἐξουδένωσιν, τὰς τῆς σαρκὸς αἰκίας, καρτερῶς ὑπομείνας, ὡς στήλη ξενηκούστου ὑπομονῆς, θεοφόρε Ἀκάκιε, ἐν οὐρανοῖς συναυλίας μαρτυρικῆς, θαυμαστὸς ἐγένου μέτοχος.

Δόξα. Ἦχος β'.

Τὸν ἐπώνυμον τῆς ἀκακίας ἀσκητήν, τὸν δι᾿ ὑπακοῆς ἀναδειχθέντα, Μάρτυρα τῇ προαιρέσει στερέμνιον, τῶν μοναζόντων οἱ δῆμοι, συνελθόντες εὐφημήσωμεν· οὗτος γὰρ ὑπήκοος, μέχρι τέλους γενόμενος, ὡς ταπεινώσει τελείᾳ κοσμούμενος, καὶ μετὰ θάνατον ὤφθη, ὑπακούων τῷ ἐρωτῶντι, ἐκ τοῦ μνήματος ὡς ζῶν, ἀποκρινόμενος καὶ λέγων, ὅτι ἄνθρωπον ἐργάτην ὑπακοῆς, ἀποθανεῖν οὐ δύναται. Κύριε πρεσβείαις αὐτοῦ, τὴν εἰρήνην παράσχου, τῷ λαῷ Σου ὡς Φιλάνθρωπος.

Καὶ νῦν. Θεοτοκίον.

Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου, τῆς χάριτος ἐλθούσης· ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω παρθένος ἔτεκες, καὶ παρθένος ἔμεινας· ἀντὶ στύλου πυρός, δικαιοσύνης ἀνέτειλε Ἥλιος· ἀντὶ Μωϋσέως Χριστός, ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον τῆς ἡμέρας, Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. γ' 1 - 9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος.Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσιν καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' Αὐτῷ, συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν Αὐτῷ· ὅτι χάρις καὶ

ἔλεος ἐν τοῖς Ὁσίοις Αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. ε΄ 15 - στ΄ 3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν παρὰ Ὑψίστου. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ Αὐτοῦ σκεπάσει αὐτούς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον Αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα, κρῖσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει δὲ Αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι· ἀγανακτήσει κατ’ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## Παροιμιῶν τὸ Ἀνάγνωσμα (Κεφ. ι’ 7, γ' 13).

Μνήμη δικαίου μετ’ ἐγκωμίων καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν καὶ θνητὸς ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλήν καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῶν. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν καὶ πλησθήσεσθε Πνεύματος.

## Εἰς τήν Λιτήν, Ἰδιόμελα. Ἦχος α'.

Ὅσιε Πάτερ Ἀκάκιε, Χριστοῦ τῆς φωνῆς ἐπακούσας, τὸν Σταυρόν ἐπ' ὤμων ἀνέλαβες, καὶ μιμησάμενος αὐτοῦ τὴν ὑπακοήν, εἰς τὴν αἰωνίζουσαν ζωὴν εἰσελήλυθας, τὰ ἔπαθλα λαβὼν τῶν ἀγώνων σου· ὑπακοῆς γὰρ οἱ ἐργάται οὐ θνήσκουσιν, ὡς αὐτὸς τῷ ἐρωτήσαντί σε ἐφθέγξω, κἂν ἄπνους ἐν τάφῳ νεκρὸς κατακείμενος. Ἀλλὰ πρέσβευε ἀεὶ ὑπὲρ ἡμῶν, τῶν ἐκτελούντων εὐλαβῶς, τὴν ἔνδοξον μνήμην σου.

## Ἦχος β'.

Τὸν δεύτερον Ἰὼβ Ἀκάκιον, τῇ καρτερίᾳ εὐφημήσωμεν· οὗτος γὰρ τὰς μηχανὰς τοῦ ἐχθροῦ, δυνάμει ὑπακοῆς τοῦ Χριστοῦ, τελείως ἐξέκλινε, καὶ ἐν κόσμῳ φερώνυμον, ζωὴν ἐπολιτεύσατο, ῥαθύμῳ ὑποτασσόμενος γέροντι, καὶ τὰ ἐξ αὐτοῦ ἐπίπονα ὑπομένων, καθάπερ ἀλλοτρίῳ ἐν σώματι. Ὅθεν αὐτῷ ἐκβοήσωμεν· πύκτα τῆς ὑπομονῆς Ἀθλητά, Μάρτυς τῇ προαιρέσει στερέμνιε, ὁ δικαιοσύνης τὸ διάδημα, χειρὶ τῇ ἀκτίστῳ κομισάμενος, ἱκέτευε διαπαντός, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

## Ἦχος γ'.

Ἐμαρτύρησέ σε Θεὸς θαυμαστικῶς, μετὰ θάνατον ζῶντα, παραδόξῳ τρόπῳ, μακάριε Ἀκάκιε· ἐν βίῳ γὰρ οἱ φυλάξαντες, ὑπακοὴν τελείαν ἀκριβῶς, οὐκέτι ἀποθνήσκουσιν, ὡς αὐτὸς ἐκ τοῦ τάφου, τῷ ἐρωτήσαντί σε ἀδελφῷ, ἀνταποκρινόμενος ἔφης θαυμάσιε. Ὅθεν καὶ ἡμᾶς τοὺς τιμῶντάς σε, θανάτου ψυχικοῦ διαφύλαξον, δυνάμει τῆς θείας πρεσβείας σου.

Ἦχος δ'.

Ὅσιε Πάτερ, κόσμου ἀποῤῥαγείς, τῷ Χριστῷ ᾠκειώθης, καὶ ἐν οἴκῳ Αὐτοῦ δαυϊτικῶς, ὡς φοῖνιξ ἐξήνθησας ὑψίκομος, τῷ γλυκασμῷ τῶν πόνων, τῆς ὑπὲρ νοῦν ὑπομονῆς σου, καθηδύνων ἡμῶν τὰ αἰσθητήρια· δι᾽ αὐτῆς γὰρ ἔφθασας, τὸ ὕψος τῆς ἀπαθείας, καὶ τῷ ἐσχάτῳ τῶν ἐφετῶν, Ἀκάκιε προσωμίλησας. Ὅθεν σήμερον οἱ πιστοί, τὴν μνήμην σου ᾄσμασιν ἐπιτελοῦντες, τὸν ἐν Τριάδι δοξολογοῦμεν Θεόν, τὸν παρέχοντα διὰ σοῦ, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Δόξα. Ἦχος πλ. α'.

Ὅσιε Πάτερ, θεομακάριστε Ἀκάκιε, τὴν τεθλιμμένην ὁδὸν, ἐπὶ γῆς ὁσίως βαδίσας, πρὸς εὐρύχωρον πλάτος, τῆς οὐρανῶν Βασιλείας κατήντησας· Θεῷ γὰρ τῷ ἀθανάτῳ προσκολλώμενος, καὶ ἐν Αὐτῷ ἑδράσας τὴν ἐλπίδα σου, τὴν αἴνεσιν Αὐτοῦ ἐν στόματι, ἐν ἅπαντι ἔσχες τῷ βίῳ σου. Ὅθεν ὡς τοῦ ξύλου τῆς ζωῆς, ἐν Παραδείσῳ τῆς τρυφῆς ἀπολαύων, πρέσβευε ἐκτενῶς, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν Σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν Σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Εἰς τόν Στίχον. Ἦχος δ’. Ὡς γενναῖον ἐν Μάρτυσι.

Ἐγνωρίσθης ἰσάγγελος, ἐν τῷ κόσμῳ Ἀκάκιε, τοῖς λαμπροῖς τοῦ βίου σου προτερήμασι· μέχρι γὰρ τέλους ὑπήκοος, ἐγένου σῷ γέροντι, ἐν νεκρώσει ὁλικῇ, τοῦ ἰδίου θελήματος· ὅθεν θάνατος, ἐν σοὶ Ὅσιε Πάτερ ἠπατήθη, ὡς ἐφθέγξω κἂν ἐν τάφῳ, ἄπνους νεκρὸς κατακείμενος.

Στ. *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Ἀποπτύσας τὴν πρόσκαιρον, ὁλικῶς ματαιότητα, τοῦ Χριστοῦ τοῖς ἴχνεσιν ἠκολούθησας, καὶ δι᾽ ὁσίας ἀσκήσεως, εἰς ὕψος ἀνέδραμες, ἀκακίας νοητόν, φερωνύμως Ἀκάκιε, ἔνθα στέφανον, ὑπεδέξω λαμπρὸν δικαιοσύνης, καὶ παρέστης μετὰ δόξης, τῷ Βασιλεῖ τῶν Δυνάμεων.

Στ. *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς Αὐτοῦ θελήσει σφόδρα.*

Τὸν Ἰὼβ ἐκμιμούμενος, τῇ στεῤῥᾷ καρτερίᾳ σου, ἀγογγύστως ἤνεγκας ὡς ἀσώματος, τὰς ἀτιμίας Ἀκάκιε, τὰς ὕβρεις, τὸν ἔλεγχον, τὰς αἰκίας τῆς σαρκός, τὴν πικρὰν ἐξουδένωσιν, καὶ παρέστησας, ἑαυτὸν ἐν μιμήσει τοῦ Κυρίου, ἀκαταίσχυντον ἐργάτην, ὑπακοῆς παμμακάριστε.

Δόξα. Ἦχος πλ. δ’.

Φερώνυμον κλῆσιν δεξάμενος, τῆς ἀκακίας τοὺς καρπούς, εἰς ἑκατὸν ἐξήνεγκας, ἀσκητικῶς Πάτερ Ἀκάκιε· τὴν κοσμικὴν γὰρ ἀπάτην ἀποπτύσας, δι᾽ ἐγκρατείας τὸν βίον μετῆλθες, καὶ ὑπακοῆς τοὺς ὅρους

ἐφύλαξας, ἐν νεκρώσει τοῦ ἰδίου θελήματος, Χριστὸν τὸν Θεὸν μιμούμενος, τὸν ὑπήκοον μέχρι θανάτου γεγονότα, θανάτου δὲ Σταυροῦ. Ὅθεν Αὐτός σε ἐδόξασεν, ὡς ἀψευδῶς ὑπέσχετο, καὶ διὰ σοῦ τοῖς τιμῶσί σε δωρεῖται, τὴν εἰρήνην καὶ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος γ'. Θείας πίστεως.

Γνώμων ἄριστος, τῆς ἐγκρατείας, στήλη ἔμψυχος, τῆς ἀκακίας, φερωνύμως ἐδείχθης Ἀκάκιε, ὑπομονῆς χαρακτὴρ ἀληθέστατος, ὑπακοῆς τε κανὼν ἀκριβέστατος. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Σὲ τὴν μεσιτεύσασαν, τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ Σοῦ προσληφθείσῃ, ὁ Υἱός Σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς Φιλάνθρωπος.

Ἀπόλυσις.

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α’ Στιχολογίαν, Κάθισμα.῏Ηχος α’. Τὸν τάφον Σου, Σωτήρ.

Ὡς δεύτερος Ἰώβ, ἀληθῶς ἀνεδείχθης, στεῤῥῶς καθυποστάς, τὰς τοῦ βίου σου θλίψεις, μακάριε Ἀκάκιε, ἀγγελότροπε Ὅσιε· ἀνυπόκριτος, ὑπακοῆς γὰρ ἐργάτης, ἐχρημάτισας, ἰχνηλατίσας σωφρόνως, Χριστὸν τὸν Σωτῆρά σου.

Θεοτοκίον.

Παρθένε Ἀγαθή, τοῖς ἱκέταις Σου ἴθι, βοήθεια στεῤῥά, προστασία καὶ σκέπη, ὡς εὔσπλαγχνος ὑπάρχουσα, συμπαθὴς καὶ φιλάνθρωπος· Σοὶ γὰρ Δέσποινα, ἐν ταῖς τοῦ βίου ἀνάγκαις, καταφεύγομεν, καὶ ὡς Θεοῦ Σε Μητέρα, ἀεὶ μακαρίζομεν.

Μετὰ τὴν β’ Στιχολογίαν, Κάθισμα. ῏Ηχος γ’. Θείας πίστεως.

Φόβῳ κρείττονι, τὰς τῆς ψυχῆς σου, ῥυθμιζόμενος, Πάτερ κινήσεις, ὑπακοῇ ἐν τελείᾳ διέπρεψας, καὶ δι᾽ αὐτῆς τῶν Μαρτύρων συμμέτοχος, ἐν οὐρανοῖς ἐγνωρίσθης Ἀκάκιε. Ὅθεν πρέσβευε, Χριστῷ τῷ Θεῷ μακάριε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Ὅν συνέλαβες, ἀπειρογάμως, καὶ ἐκύησας, ἀνερμηνεύτως, τὸν τὰ σύμπαντα φέροντα ῥήματι, ὑπὲρ ἡμῶν ἐκτενῶς καθικέτευε, ἵνα ῥυσθῶμεν κινδύνων καὶ

θλίψεων· Σὺ γὰρ Δέσποινα, ὑπάρχεις ἀεὶ φιλάγαθος, τοῖς μέλπουσιν πιστῶς τὸν θεῖον τόκον Σου.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος πλ. α'. Τόν συνάναρχον Λόγον.

Καθαρθεὶς τάς αἰσθήσεις ἐν ἀκακίᾳ σου, καὶ μετάρσιον δείξας ὑπακοῇ σου τὸν νοῦν, κατεπαύσω είς σκηνήν ζωῆς τῆς κρείττονος, ἔνθα Ἀκάκιε ὁρᾷς, ἀκοιμήτοις ὀφθαλμοῖς, τὸ πρόσωπον τοῦ Κυρίου, καὶ πρεσβεύεις ἀκαταπαύστως, ὑπὲρ ἡμῶν τῶν εὐφημούντων σε.

Θεοτοκίον.

Θεοτόκε Παρθένε, Θεοχαρίτωτε, ἡ τεκοῦσα ἀσπόρως τὸν Ποιητὴν τοῦ παντός, είς ἀνάπλασιν βροτῶν καὶ κόσμου λύτρωσιν, ὑπὲρ ἡμῶν ὡς Ἀγαθή, τῶν πεποιθότων ἐπὶ Σοί, ἐκδυσωποῦσα μὴ παύσῃ, κινδύνων ἵνα ῥυσθῶμεν, καὶ καταδίκης τῆς μελλούσης Ἁγνή.

Οἱ Ἀναβαθμοί· τὸ α' Ἀντίφωνον τοῦ δ' Ἤχου.

Προκείμενον. *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ. *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Εὐαγγέλιον Ὁσιακόν (ζήτει τῇ ιζ' Ἰανουαρίου, ἐν τῇ ἑορτῇ τοῦ ἁγ. Ἀντωνίου).

Ὁ Ν' (50) Ψαλμός.

Δόξα. Ταῖς τοῦ Σοῦ Ὁσίου…

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου…

Ἰδιόμελον. Ἦχος πλ. β’. Στ. *Ἐλέησόν με, ὁ Θεός…*

Ὅσιε Πάτερ Ἀκάκιε, πάλαι μὲν Ἀδὰμ ὁ γενάρχης, Παραδείσου γέγονεν ἄποικος, μὴ ὑπακούσας τῇ θείᾳ ἐντολῇ· σὺ δὲ ὡς νουνεχής, ὑπακοῆς χρηματίσας ἐργάτης, ἐν τῇ Μονῇ Κελλιβάρων φιλόπονος, τὸν Παράδεισον εἰς κατοικίαν, ἀχειροποίητον ἀπέλαβες· ἔνθα νῦν τοῦ ξύλου τῆς ζωῆς, ἀμέσως ἐντρυφῶν, πρέσβευε τῷ Θεῷ, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἶτα, οἱ Κανόνες· τῆς Θεοτόκου καὶ τοῦ Ὁσίου, οὗ ἡ ἀκροστιχίς·*Ἀκάκιον τὸν ἄριστον ὑπήκοον ᾄσμασιν ᾄδω.* Ποίημα Θεοφάνους.

Ὠδὴ α’. Ἦχος δ᾽. Θαλάσσης τὸ ἐρυθραῖον.

Ἀκάκῳ, γνώμῃ θεόφρον χρώμενος, τὴν ἀγαθότυπον, τῶν ἀρετῶν ἐκτήσω καλλονήν, τοῦ Χριστοῦ τὴν ἑκούσιον, ὑπακοὴν μιμούμενος, μέχρι θανάτου παμμακάριστε.

Κακίας, τὸν εὑρετὴν κατῄσχυνας, τῇ ἀκακίᾳ σου· ὑπομονῇ τε Πάτερ πειρασμῶν, τὴν αὐτοῦ ὑπερήφανον, καὶ ἐπῃρμένην ἄνοιαν, πρὸς γῆν παμμάκαρ ἐταπείνωσας.

Ἀσκήσει, καρτερωτάτῃ Ὅσιε, προγυμναζόμενος, καὶ τῶν παθῶν ἐκτέμνων τὰς ὁρμάς, ἀπαθείας ἐνδύματι, κατεκοσμήθης ὕστερον, χάριτι θείᾳ σκεπαζόμενος.

Κρατύνας, τὴν τῆς ψυχῆς κατάστασιν, ὑπομονῇ καρτερᾷ, καὶ σταθερῷ παμμάκαρ λογισμῷ, καθ᾽ ἡμέραν ὑπέμενες, μαρτυρικὸν ἀγώνισμα, καὶ στεφανίτης ἀναδέδειξαι.

Θεοτοκίον.

Ἰσχύς μου, ποιητικὴ καὶ ὕμνησις, Θεὸς καὶ Κύριος, ὁ δι᾽ ἡμᾶς ἐκ Σοῦ σωματωθείς, καὶ τεχθεὶς τῆς Προφήτιδος, ὡς Ἡσαΐας Πάναγνε, προφητικῶς εὐηγγελίσατο.

Ὠδὴ γʹ. Εὐφραίνεται ἐπὶ Σοί.

Ὁλόκληρον σεαυτόν, τῷ Ποιητῇ σου καὶ Θεῷ Ὅσιε, ἀνατεθεὶς ἔφερες, τιμωρητικὴν ἐξουδένωσιν.

Νομίμως ἀθλητικήν, τὴν καρτερίαν Ἀσκητὰ ἔδειξας, ἐπὶ τῆς γῆς· ὅθεν σοί, ἡ ἐν οὐρανοῖς τέρψις δέδοται.

Ταπείνωσιν ἀληθῆ, μακροθυμίαν ἀκριβῆ ἤσκησας, ὑπομονήν, ἐγκράτειαν, δι᾽ ὑπακοῆς παμμακάριστε.

Θεοτοκίον.

Ὁ πάντων Δημιουργός, δημιουργεῖται δι᾽ ἡμᾶς Πάναγνε, σάρκα λαβὼν ἔμψυχον, ἐκ Σοῦ Παναγία Θεόνυμφε.

Κάθισμα. Ἦχος δʹ. Ταχὺ προκατάλαβε.

Ἰὼβ ἐκμιμούμενος, τῇ καρτερίᾳ σαφῶς, τὰς θλίψεις ὑπέμεινας, ἐν ἀῤῥαγεῖ λογισμῷ, παμμάκαρ Ἀκάκιε· ὅθεν σοι ἐν ὑψίστοις, ἡ αἰώνιος τέρψις,

δέδοται ἐπαξίως, ἐν ᾗ χαίρων ἀλήκτως, μνημόνευε θεόφρον, τῶν πίστει τιμώντων σε.

Δόξα. Ὅμοιον.

Λαμπρότητι πίστεως, καὶ ἐγκρατείας φωτί, ἐδείχθης ἰσάγγελος, ἐπὶ τῆς γῆς ἀληθῶς, Ἀκάκιε πάνσοφε· ἔδειξας ἐν ἀνδρείᾳ, τὸ στεῤῥὸν τοῦ νοός σου, ἔτρεψας παρατάξεις, τῶν παθῶν ἐν ἀσκήσει· διὸ καὶ μετὰ τέλος ὡς ζῶν, ὤφθης ἀήττητε.

Καὶ νῦν. Θεοτοκίον.

Ἀφράστως ἐκύησας, τὸν Ποιητὴν τοῦ παντός, δι' ἔλεος ἄφατον, καὶ εὐσπλαγχνίαν πολλήν, γενόμενον ἄνθρωπον, Ὅνπερ σὺν Ἀκακίῳ, τῷ ἐνδόξῳ Ὁσίῳ, Δέσποινα ἐκδυσώπει, ἵνα εὕρωμεν πάντες, οἱ πόθῳ Σε τιμῶντες, ζωὴν τὴν ἀκήρατον.

Ὠδὴ δ'. Ἐπαρθέντα Σε ἰδοῦσα.

Νεκρώσας Πάτερ τὸ φρόνημα τῆς σαρκός σου, τὴν σὴν ψυχὴν ἐζώωσας, καὶ δικαιοσύνης, στέφανον ἀπείληφας, κραυγάζων Ἀκάκιε· δόξα τῇ δυνάμει Σου Κύριε.

Ἀγῶνας μακρούς ἀνύων τοὺς καθ' ἡμέραν, καρτερικὴν ἐδείκνυες, τὴν ἔνστασιν Πάτερ· ὅθεν μετὰ θάνατον, ὡς ζῶν ἀνεβόησας· δόξα τῇ δυνάμει Σου Κύριε.

Ῥωμαλέῳ τῷ φρονήματι τὰς βασάνους, διὰ Χριστὸν ὑπέμεινας, Ἀκάκιε μάκαρ, τοῦτον φανταζόμενος, Σταυρῷ προσηλούμενον, διὰ σωτηρίαν τοῦ γένους ἡμῶν.

Θεοτοκίον.

Ἱερωτέρα ὑπάρχεις τῶν οὐρανίων, καὶ νοερῶν Δυνάμεων, ὡς τούτων τὸν Κτίστην, Πάναγνε κυήσασα· διό Σοι κραυγάζομεν· χαῖρε Θεοτόκε Πανάχραντε.

Ὠδὴ ε΄. Σὺ Κύριέ μου φῶς.

Σὺ Ὅσιε πληγαῖς, ἀνδρικῶς αἰκιζόμενος, καὶ μάστιγας καθ' ἡμέραν, ὑποφέρων εὐτόνως, ὁσίως ἀναπέπαυσαι.

Τὸν δρόμον τὸν καλόν, ἐκτελέσας Ἀκάκιε, τὴν ἄκακον καὶ καμάτων, ἐλευθέραν καὶ πόνων, ἀπέλαβες ἀνάπαυσιν.

Ὁ νοῦς σου καθαρῷ, λογισμῷ κυβερνώμενος, Ἀκάκιε θεοφόρε, πρὸς τὸν Αἴτιον πάντων, εὐστόχως ἐγκαθώρμισται.

Θεοτοκίον.

Νοῦς καὶ ἀγγελικός, οὐκ ἰσχύει Πανάμωμε, τὸν τόκον Σου ἑρμηνεῦσαι· ὑπερβαίνει γὰρ πᾶσαν, κατάληψιν καὶ ἔννοιαν.

Ὠδὴ στ'. Θύσω Σοι μετά φωνῆς.

Ὑπνώσας, τὸν μακάριον ὕπνον Ἀκάκιε, καὶ μετὰ θάνατον ὤφθης, ὑπακούων Πάτερ τοῖς ἐρωτῶσιν, ὡς οὐ θνήσκει, ὁ τῆς ὑπακοῆς ἀντεχόμενος.

Πληρώσας, τοὺς καλλίστους ἀγῶνας φερώνυμε, τῆς ἀκηράτου θεόφρον, ἠξιώθης ὄντως ἀθανασίας, ἔνθα χαίρων, τοὺς στεφάνους τῆς νίκης ἀπέλαβες.

Ἡ θεία, καὶ καλὴ καὶ θεάρεστος ἄσκησις, τῆς πολιτείας σου μάκαρ, τοὺς πολλοὺς στηρίζει τῷ θείῳ φόβῳ, καὶ τῷ πόθῳ, ἀγαθῶν τῶν μελλόντων Ἀκάκιε.

Θεοτοκίον.

Κυρίως, Θεοτόκον Σε πίστει δοξάζομεν, ὡς τὸν Θεὸν συλλαβοῦ-σαν, καὶ τεκοῦσαν Τοῦτον ἀπειρογάμως, ἑνωθέντα, τῷ ἐκ Σοῦ προσληφθέντι ἁγίῳ ναῷ.

Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ Ὑπερμάχῳ.

Ὑπακοῆς ὑπογραμμὸν τὸν ἀκριβέστατον, ὑπομονῆς τὸ ἀκριβὲς θεῖον παράδειγμα, ἀκακίας τὸν φερώνυμον ἐν Ὁσίοις, ἐγκωμίων τοῖς στεφάνοις ἀναδήσωμεν, ὡς παρέχοντα ἡμῖν χάριν οὐράνιον, τοῖς κραυγάζουσι· χαίροις, Πάτερ Ἀκάκιε.

Ὁ Οἶκος.

Ἀκακίᾳ συζήσας, ἐν πολλῇ ταπεινώσει, ἐχθρὸν τὸν εὑρετὴν τῆς κακίας, κατετρόπωσας Πάτερ οἰκτρῶς, καὶ πρὸ ποδῶν σου ἀνίσχυρον ἔδειξας· διό σε μακαρίζομεν, ἀναβοῶντές σοι τοιαῦτα·

Χαῖρε, ἡ στήλη τῆς καρτερίας·
χαῖρε, τὸ ἄνθος τῆς ἀκακίας.
Χαῖρε, εὐανδρίας ἀστὴρ οὐρανόφωτος·
χαῖρε, εὐψυχίας εἰκὼν οὐρανόγραφος.
Χαῖρε, τύπος ἀπαράμιλλος ὑπὲρ νοῦν ὑπομονῆς·
χαῖρε, ἔμψυχον παράδειγμα θαυμαστῆς ὑπακοῆς.

Χαῖρε, ὅτι ὑπῆλθες ἀγγελότροπον βίον·
χαῖρε, ὅτι ἐφάνης χριστομίμητος μέροψ.
Χαῖρε, Χριστοῦ ὁ πληρώσας τὸν λόγον·
χαῖρε, ἐχθροῦ ὁ αἰσχύνας τὸ θράσος.
Χαῖρε, ζωῆς κοινωνήσας ἀλήκτου·
χαῖρε, χαρᾶς εὐμοιρήσας ἀψεύστου.
Χαίροις, Πάτερ Ἀκάκιε.

Μηνολόγιον.

Τῇ ΚΣΤ' τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ὁσίου Ἀκακίου, τοῦ ἐν τῇ Κλίμακι μνημονευομένου.

Στίχοι.

*Κακίας τρέψας τοὺς φαλαγγάρχας, Πάτερ,*
*στεφάνοις δόξης παρὰ Θεοῦ ἐστέφθης.*
*Ἀκάκιος εἰκάδι ἕκτῃ ἀκακίας εὕρατο ἀμοιβήν.*

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Ἐν τῇ καμίνῳ.

Ὅλῳ τῷ πόθῳ, πρὸς τὸν Δεσπότην ἐπειγόμενος, ὕβρεις, ἀτιμίας Ὅσιε καὶ πληγάς, ὑπομένων ἀνεκραύγαζες· εὐλογημένος εἶ, ἐν τῷ ναῷ τῆς δόξης Σου Κύριε.

Ὁ λογισμός σου, τὰ τοῦ Δεσπότου λογιζόμενος, Πάθη καὶ Σταυρὸν καὶ θάνατον μελετῶν, αἰκιζόμενος ὑπέψαλλεν· εὐλογημένος εἶ, ἐν τῷ ναῷ τῆς δόξης Σου Κύριε.

Νεκρὸς ἐν τάφῳ, νόμῳ θανόντων κατακείμενος, ἄπνους τῷ λαλοῦντι φθέγγῃ ὑπερφυῶς, ὡς οὐ τέθνηκας, κραυγάζεις δέ· εὐλογημένος εἶ, ἐν τῷ ναῷ τῆς δόξης Σου Κύριε.

Θεοτοκίον.

Ἀποθανόντας, ἐν ᾧ Παρθένε κατειχόμεθα, νόμῳ τὴν ζωὴν τεκοῦσα τὴν ἀληθῆ, ἐξανέστησας κραυγάζοντας· εὐλογημένη Σύ, ἐν γυναιξὶ ὑπάρχεις Πανάμωμε.

Ὠδὴ η΄. Χεῖρας ἐκπετάσας Δανιήλ.

Συντόνῳ ἀσκήσει τῷ Θεῷ, σοὶ ἐξεγένετο κραθῆναι Ὅσιε, δεσμὸν τοῦ σώματος λύσαντι, καὶ τὴν σάρκα δαπανήσαντι, καὶ θεωρίᾳ πρακτικῇ, Πάτερ κραυγάζοντι· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Μετὰ τῶν Μαρτύρων τοῦ Χριστοῦ, συναριθμούμενος καὶ συντατ-τόμενος, μὴ διαλίπῃς νῦν Ὅσιε, ἱκετεύων τὸν Φιλάνθρωπον, καὶ δυσωπῶν ὑπὲρ ἡμῶν, τῶν εὐφημούντων σε καὶ βοώντων· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ἀθλήσας ἐννόμως ἐπὶ γῆς, τὴν ἐπουράνιον εὗρες ἀνάπαυσιν· συναγαλλόμενος Ὅσιε, τοῖς Ἁγίοις καὶ συμμέτοχος, τῆς εὐφροσύνης καὶ χαρᾶς, τούτων γινόμενος καὶ κραυγάζων· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Θεοτοκίον.

Σαρκοῦται ὁ ἄσαρκος τὸ πρίν, ὁ Κτίστης κτίζεται, ἐκ Σοῦ Πανάμωμε· τὴν γὰρ πανάχραντον μήτραν Σου, ὑποδὺς ὁ ἀπερίληπτος, περιγραφῇ σωματικῇ θέλων ἠνέσχετο· ὅθεν πάντες, Σὲ εὐλογοῦμεν Μαρία Θεόνυμφε.

Ὠδὴ θ΄. Λίθος ἀχειρότμητος.

Ἵλεως ἐχώρησας Πάτερ, πρὸς τὸν τῶν ὅλων Εὐεργέτην, τῇ τῆς ἀκακίας καλλονῇ, κεκοσμημένος καὶ ὡραιότητι, τῶν ἀρετῶν λαμπόμενος· διό σε πάντες μακαρίζομεν.

Νόμῳ πειθαρχῶν τοῦ Δεσπότου, τὸν σὸν ὑπέκλινας αὐχένα, τῇ τῶν μοναζόντων παλαίστρᾳ, καὶ νικηφόρος Πάτερ γενόμενος, πρὸς ἀκακίαν ἤλασας, τελεωτάτην παμμακάριστε.

Ἆσμα τῷ Θεῷ ἀναπέμπειν, σὺν Ἀσωμάτοις ἠξιώθης, ὡς διατηρήσας ἐκείνων, τὴν πολιτείαν καὶ καθαρότητα· ὑπομονῇ τῶν ἔργων δέ, τὸ τῶν Μαρτύρων κλέος εἴληφας.

Δέχου παρ᾿ ἡμῶν θεοφόρε, τὸν προσφερόμενόν σοι ὕμνον, ἐκ καθαρωτάτης καρδίας, καὶ ἀντιδίδου ταῖς ἱκεσίαις σου, τὴν τῶν πταισμάτων ἄφεσιν, καὶ σωτηρίαν πανσεβάσμιε.

Θεοτοκίον.

Ὡς ῥίζαν ὑπάρχουσαν ὄντως, τῆς ἀφθαρσίας Σε Παρθένε, πάντες οἱ πιστοὶ πεπεισμένοι, ταῖς

εὐφημίαις καταγεραίρομεν· Σὺ γὰρ τὴν ἐνυπόστατον, ἀθανασίαν ἡμῖν ἔτεκες.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ὑπήκοος γενόμενος, μέχρι θανάτου Ὅσιε, θεοπρεπεῖ τῇ μιμήσει, τοῦ δι' ἡμᾶς σταυρωθέντος, Αὐτοῦ τῆς Ἀναστάσεως, ἐγένου θεῖος μέτοχος, ἐν οὐρανίοις δώμασιν, Ἀκάκιε τῶν Ἀγγέλων, συνομιλῶν ταῖς χορείαις.

Θεοτοκίον.

Πηγὴ τοῦ ζῶντος ὕδατος, Ἁγνὴ ἡ ἀνεξάντλητος, τῆς χάριτός Σου τοῖς ῥείθροις, κατάσβεσον Θεοτόκε, τὴν τῶν παθῶν μου κάμινον, καὶ τὴν ψυχήν μου ἄρδευσον, ὡς ἂν βλαστήσῃ Δέσποινα, εἰλικρινοῦς μετανοίας, καρποφορίαν ἡδίστην.

Εἰς τούς Αἴνους ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ ἱερέ Ἀκάκιε, τῇ ἀκακίᾳ συζῶν, δι' ὁσίας ἀσκήσεως, ἐν Μονῇ διέπρεψας, Κελλιβάρων ὡς Ἄγγελος, καὶ ἀνατείλας νεύσει τῇ ἄνωθεν, ἐκεῖθεν κόσμῳ ὡς μέγας ἥλιος, τοῖς ἀπαυγάσμασι, τοῦ ἐνθέου βίου σου φωταγωγεῖς, τοὺς ἀνευφημοῦντάς σε, θείοις ἐν ᾄσμασι.

Πάτερ ἱερὲ Ἀκάκιε, ἀναλαβὼν τοῦ Χριστοῦ, τὸν Σταυρὸν ἐπωμάδιον, φερωνύμως ὥδευσας, τὴν ὁδὸν τὴν ἀπάγουσαν, πρὸς τὴν ἐκεῖθεν μακαριότητα,

ὑπομονῇ σου ἐκδαπανώμενος· ὅθεν τὴν ἄπονον, ἐν Ἐδέμ ἀπέλαβες ἀναψυχήν, μνημονεύων πάντοτε, τῶν εὐφημούντων σε.

Πάτερ ἱερὲ Ἀκάκιε, ὑπομονῆς γλυκασμῷ, μυστικῶς κατεμάλαξας, τὰς πληγάς, τοὺς μώλωπας, τῆς σαρκός σου τὰ τραύματα· καὶ καταρδεύων δακρύων ῥεύμασι, τῆς καθαρᾶς σου ψυχῆς τὴν αὔλακα, ἄνθος ἐβλάστησας, ὄντως ἡμερόφυτον ἁγιασμοῦ, χάριν τὴν οὐράνιον, θεομακάριστε.

Πάτερ ἱερὲ Ἀκάκιε, ὑπακοῆς σταθηρᾶς, τοῖς πτεροῖς κουφιζόμενος, ἀρετῶν τὴν κλίμακα, ἀσφαλῶς ἀναβέβηκας, καὶ καταπαύσας ἔνθα θεώσεως, ὑπεραυγάζει φῶς τὸ ἀνέσπερον, χαίρων παρίστασαι, τῷ Χριστῷ μακάριε ὑπὲρ ἡμῶν, ἐντυγχάνων πάντοτε, τῷ Παντοκράτορι.

Δόξα. Ἦχος δ'.

Ὅσιε Πάτερ Ἀκάκιε, ἐθαυμαστώθης ὑπὲρ ἔννοιαν, διὰ τῆς ἐν ἀσκήσει ὑπακοῆς σου, ἣν ἐνεδείξω ἐν τῇ προσκαίρῳ ζωῇ, ῥαθύμῳ ὑποτασσόμενος γέροντι, καί ἐν ὑπομονῇ τελείᾳ βαστάζων, τῶν τρόπων αὐτοῦ τὸ σκληρότατον· διὸ καὶ μετὰ θάνατον, νεκρὸς ἄπνους ἐν τάφῳ κατακείμενος, τῇ ὑπακοῇ εἰσέτι δουλεύων, τῷ ἐρωτήσαντί σε ἀνταπεκρίθης, ὡς ζῶν οὕτως φθεγξάμενος· πῶς, Πάτερ τίμιε, ἄνθρωπον ὑπακοῆς ἐργάτην, ἀποθανεῖν δυνατόν; Ὅθεν σήμερον οἱ πιστοί, θαυμαστικῶς ὑμνολογοῦμέν σε, καὶ τῷ Κυρίῳ πρέσβυν προσάγομεν, ἵνα εὕρωμεν διὰ σοῦ, ἱλασμὸν ἁμαρτιῶν καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων, τοὺς δούλους Σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα Σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

Μεγαλυνάριον.

Χαίροις ὁ ἐν κόσμῳ ἀναδειχθείς, τέλειος ἐργάτης, θεομάκαρ ὑπακοῆς· χαίροις ἀκακίας, παράδειγμα καὶ τύπος, ὑπομονῆς δι᾽ ἔργων, Πάτερ Ἀκάκιε.

Δίστιχον.

*Λογισμῶν Ἀκάκιε ῥῦσαι κακίας,*
*Κύριλλον ὑμνήσαντι τὰς ἀρετάς σου.*